# Ἐπετηρὶς

# Ἑταιρείας Βυζαντινῶν Σπουδῶν

## Ἔτος Ζ΄

Ἐβραβεύθη ὑπὸ τῆς Ἀκαδημίας Ἀθηνῶν καὶ τοῦ ἐν Παρισίοις Συλλόγου πρὸς ἐνίσχυσιν τῶν Ἑλληνικῶν Σπουδῶν.



Ἀθῆναι 1930

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ ΔΑΜΙΑΝΟΥ ΤΟΥ ΝΕΟΥ

## I

Τῷ 1805 ἐξεδόθη τύποις «Ἐνετίῃσιν παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων» «Ἀσματικὴ ἀκολουθία τοῦ ἐν ἁγίοις ὁσιομάρτυρος Δαμιανοῦ τοῦ ἐκ Μυριχόβου, ᾗ ἐμπεριείληπται καί τις κανὼν παρακλητικὸς πρὸς τὸν τίμιον Πρόδρομον ἐπὶ ἀσθενοῦντας ἢ καὶ ἄλλως εἰς συμφορὰς καὶ περιπετείας τελοῦντας ψαλλόμενος, ποιηθεῖσα μὲν παρὰ τοῦ ἐν ἱερομονάχοις Διονυσίου τοῦ ἐπιλεγομένου Παπαδοπούλου, προτροπῇ δὲ τοῦ πανοσιωτάτου ἀρχιμανδρίτου τῆς ἁγιωτάτης μητροπόλεως Λαρίσσης κυρίου Ἰακώβου νῦν πρῶτον τύποις ἐκδοθεῖσα σπουδῇ καὶ φιλοτίμῳ δαπάνῃ τοῦ τιμιωτάτου κυρίου Βησσαρίωνος Χ. Γεωργίου ἀρτοπωλητοῦ, τοῦ ἐκ Λαρίσσης εἰς χρῆσιν τῶν τὴν τούτου μνήμην κατ' ἔτος τελούντων καὶ τῶν ἄλλων εὐσεβῶν, ὅσοι τιμᾶν τὸν ἅγιον βούλονται» (σελ. 52).

Ἐν ἀρχῇ (σ. 3 καὶ 4) προσφώνησις τοῦ Βησσαρίωνος Χ. Γεωργίου φέρουσα χρονολογίαν «αωδ´ Σεπτεμβρίῳ» «τῷ πανοσιωτάτῳ καὶ σεβασμίῳ μοι ἀρχιμανδρίτῃ κυρίῳ κυρίῳ Ἰακώβῳ» ἐν ᾗ, πρὸς τοῖς ἄλλοις, ἀναφέρει ὅτι ἀνατίθησι τὴν ἀκολουθίαν ταύτην αὐτῷ «ἐπειδὴ γινώσκει ὅτι καὶ πρὸς τὸν ἅγιον λίαν εὐλαβῶς διάκειται καὶ μάλιστα πρὸ πολλοῦ τὴν τούτου ἀκολουθίαν ἰδεῖν εἰς φῶς ἐπεθύμει, ὡς καὶ τὴν αὐτῆς μετάνοιαν εἰς τὸ ἐκείνου μονύδριον ἔχουσα» καὶ παρακαλῶν λέγει «δι' ἐπιστασίας τῆς σῆς ἐμῶν δὲ ἀναλωμάτων σπούδασον τοῖς τύποις ἐκδοῦναι» (σ. 4).

Ἔπειτα (σ. 5 καὶ 6) ἀπάντησις τοῦ Ἰακώβου φέρουσα χρονολογίαν «αωδ´ Ὀκτωμ.» «τῷ τιμιωτάτῳ καὶ χρησιμωτάτῳ κυρίῳ Βησσαριῶνι Χ. Γεωργίῳ», ἐν ᾗ, πρὸς τοῖς ἄλλοις, εὐχαριστεῖ αὐτὸν διὰ τὴν δωρεὰν πρὸς ἐκτύπωσιν τῆς ἀκολουθίας «ἧς τινος οἵ τε ἐν τῇ αὐτῇ μονῇ πατέρες καὶ οἱ ἄλλοι τῶν εὐσεβῶν ὑστερούμενοι καὶ τῆς τοῦ ἁγίου μνήμης ἐτησίως ἐφισταμένης μὴ ἔχοντες κατὰ τὸ εἰκὸς τιμᾶν αὐτὸν λίαν ἐπὶ τούτῳ ἠθύμουν τε καὶ ἤσχαλλον» (σ. 5).

Μετὰ τὰ ἀνωτέρω ἕπεται ἡ ἀκολουθία (σ. 7-43) καὶ ἀκολουθεῖ «ὁ παρακλητικὸς κανὼν πρὸς τὸν τίμιον Πρόδρομον» (σ. 44-52).

## II

Ἐν τῇ πανεπιστημιακῇ βιβλιοθήκῃ τῆς Τυβίγγης ὑπάρχουσι δύο χειρόγραφα περιέχοντα τὴν ἀκολουθίαν Δαμιανοῦ τοῦ νέου, τὸ ὑπ' ἀριθμὸν

ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Mb 31 (φύλ. $3^{α}$ - $15^{β}$) καὶ τὸ ὑπ' ἀριθμὸν Mb 37 (φύλ. 11 - 20). (Πρβλ. κατάλογον Schmid σ. 58 καὶ 73)[1].

Τῶν χειρογράφων τούτων ζητήσας ἔλαβον φωτογραφικὰ ἀποτυπώματα τῇ μεσολαβήσει τοῦ διαπρεποῦς ἐν Λειψίᾳ ἐφημερίου τῆς Ἑλληνικῆς κοινότητος παν. Θεολόγου Παρασκευαΐδου, ἀρχιμανδρίτου, ὃν καὶ ἐνταῦθα εὐχαριστῶ. Ἐν τῷ πρώτῳ τῶν χειρογράφων τούτων ἐν φύλλῳ $3^{α}$ ἐν μὲν τῇ ἄνω ᾤᾳ, ἀναγινώσκομεν «Attulit e Constandinopoli Tybingem D. D. Steph. Garlachius et mihi M. Martino Crusio 30 Junii D. D. 1581» ἐν δὲ τῇ κάτω 11 Decemb. 1572 Gerlachius Tybingem attulit», ἐν δὲ τῷ δευτέρῳ ἐν φύλλῳ 20 ἐν τέλει «Discripsit mihi M. Martino Crusio Jacobus Maier Biniccisis, θεράπων meus 1581 mense Aprilii».

Ἐκ τῶν ἀνωτέρω σημειώσεων γίνεται δῆλον ὅτι τὴν πρώτην ἀκολουθίαν τοῦ Δαμιανοῦ ἔστειλεν εἰς Τυβίγγην ὁ Γερλάχιος τῷ 1572, τῷ δὲ 1581 ἐδωρήθη αὕτη τῷ Κρουσίῳ κατὰ μῆνα Ἰούνιον, κατὰ τὸ αὐτὸ δ' ἔτος κατὰ μῆνα Ἀπρίλιον ἀντεγράφη αὕτη ὑπὸ τοῦ Φιλίππου Μάγερ, τοῦ βοηθοῦ φοιτητοῦ τοῦ Κρουσίου, καὶ ἐδόθη αὐτῷ. Ἐκ τῆς παραβολῆς τῆς δευτέρας ἀκολουθίας πρὸς τὴν πρώτην πιστοῦται ὅτι ἡ δευτέρα εἶναι ἀκριβὲς ἀντίγραφον τῆς πρώτης.

Ἐν τῇ κάτω ᾤᾳ τῆς πρώτης ἀκολουθίας (φ. $3^{α}$) ὑπάρχει ἡ σημείωσις «Ὁ Ρενδίνης D. Damascinus cujus putatur fuisse propinquus hic Damianus» καὶ τῇ κάτω ᾤᾳ τῆς δευτέρας ἀκολουθίας (φ. $11^{α}$) «Ὁ Ρενδίνης. Hoc manu Theodosii Zygomalae scriptum erat: reliqua omnia manu τοῦ Ρενδίνης[2]. Hic vocatur D. Damascenus: cujus putatur propinquus fuisse hic Damianus».

Τίς ὁ συγγράψας τὴν ἀκολουθίαν ταύτην δὲν γνωρίζομεν, ἐκ τοῦ σημειουμένου ὅμως ἐν τῇ ἀκολουθίᾳ «εἰς τὸν ὄρθρον. Ὁ κανὼν οὗ ἡ ἀκροστιχὶς ᾄσμασι τιμῶ Δαμιανὸν ἀξίως, ἐν δὲ τοῖς Θεοτοκίοις Ματαῖος» γίνεται δῆλον ὅτι ὁ γράψας τὴν ἀκολουθίαν ἐκαλεῖτο Ματθαῖος.

Παραβάλλοντες τὴν ἀκολουθίαν τοῦ Δαμιανοῦ τὴν περιεχομένην εἰς τοὺς δύο μνημονευθέντας κώδικας τῆς Τυβίγγης πρὸς τὴν ἔντυπον ἀκολουθίαν αὐτοῦ παρατηροῦμεν ὅτι αὕτη εἶναι τελείως διάφορος ἐκείνων συμφωνοῦσα μόνον ἐν τούτῳ πρὸς αὐτὰς ὅτι καὶ αἱ τρεῖς περιέχουσι τὸ αὐτὸ

---

[1] Ὁ σοφὸς καθηγητὴς κ. Β. Α. Μυστακίδης ἐν τοῖς «Θετταλικοῖς σημειώμασι» γράφων περὶ Κρουσίου ἀναφέρει τὰ ἄνω χειρόγραφα. Ἐκ τῆς μελέτης ταύτης ἐπληροφορήθην περὶ τῆς ἐν τῇ Βιβλιοθήκῃ τῆς Τυβίγγης ἀποκειμένης ἀκολουθίας τοῦ Δαμιανοῦ, καταγομένου ἐκ Μυριχόβου τῆς Θεοσώστου παροικίας μου.

[2] Πρόκειται περὶ τοῦ ἐξόχου θεολόγου τοῦ $16^{ου}$ αἰῶνος Δαμασκηνοῦ τοῦ Στουδίτου, Ἐπισκόπου τῆς κατὰ Μακεδονίαν Λιτῆς καὶ Ρενδίνης. Πβ. τὰ προλεγόμενα τῆς ἐμῆς ἐκδόσεως, Ἀκολουθία τοῦ νεοφανοῦς μάρτυρος Νικολάου τοῦ ἐξ Ἰχθύος. Ἀθῆναι 1930.

συναξάριον τοῦ ἁγίου Δαμιανοῦ. Μικραὶ παραλλαγαὶ παρατηρούμεναι μεταξὺ τοῦ συναξαρίου τοῦ ἁγίου τῶν δύο κωδίκων τῆς Τυβίγγης καὶ τοῦ τῆς ἐντύπου ἀκολουθίας ἐξηγοῦνται ἐκ τῆς κακῆς ἀντιγραφῆς, τῆς γενομένης ὑπὸ τοῦ Διονυσίου, ἴσως δὲ καὶ τῆς τάσεως αὐτοῦ πρὸς διόρθωσιν.

## III

Ἔν τινι κώδικι, ὃν ηὐτύχησα νὰ εὕρω παρερριμμένον ἐν τῇ διαλελυμένῃ καὶ ἐρήμῳ Μονῇ τῆς ἁγίας Τριάδος Σιάμου [1], εὕρηται καὶ ἡ ἀκολουθία τοῦ Δαμιανοῦ τοῦ νέου καταλαμβάνουσα τὰ φύλλα 111α - 121β. Ἡ ἀκολουθία αὕτη εἶναι ἡ αὐτὴ πρὸς τὴν ἐν τοῖς κώδιξι τῆς Τυβίγγης περιεχομένην μὲ μόνην τὴν διαφορὰν ὅτι τὸ Συναξάριον τοῦ ἁγίου ἔχει τεθῆ ἐν τέλει τῆς ἀκολουθίας, ἐνῷ ἐν τοῖς κώδιξι τῆς Τυβίγγης μεταξὺ τῆς ἕκτης καὶ ἑβδόμης ᾠδῆς. Τὸν κώδικα τοῦτον τοῦ Σιάμου, ἀφοῦ ἐμελέτησα καὶ ἀντέγραψα τὰ ἐν αὐτῷ ἀνέκδοτα, ἐν οἷς καὶ τὴν ἀκολουθίαν τοῦ Δαμιανοῦ τοῦ νέου, ἐδώρησα εἰς τὸ Σπουδαστήριον τῆς θεολογικῆς σχολῆς τοῦ ἐν Ἀθήναις Πανεπιστημίου, οἱ καθηγηταὶ τῆς ὁποίας δι' ἐγγράφου τοῦ κοσμήτορος ηὐχαρίστησάν με διὰ τὴν πολύτιμον δωρεάν [2].

## IV

Ἐκ τῶν ἀνωτέρω προκύπτει ὅτι ἔχομεν δύο διαφόρους ἀκολουθίας τοῦ ἁγίου Δαμιανοῦ τοῦ νέου, τοῦ ἐκ τοῦ χωρίου Μυριχόβου [3], τὴν ὑπὸ τοῦ Διονυσίου τοῦ ἐπιλεγομένου Παπαδοπούλου, ἥτις ἔχει καὶ τύποις ἐκδοθῆ, καὶ τὴν τοῦ Ματθαίου, ἥτις εὕρηται ἐν τοῖς εἰρημένοις κώδιξι τῆς Τυβίγγης καὶ ἐν τῷ κώδικι τῆς ἁγίας Τριάδος Σιάμου καὶ εἶναι ἀνέκδοτος [4].

Τὴν ἀνέκδοτον ταύτην ἀκολουθίαν ἐκδίδομεν κατωτέρω ἐκ τῶν εἰρημένων κωδίκων καὶ δὴ τοῦ τῆς μονῆς τῆς ἁγίας Τριάδος, ὅστις εἶναι ἀρχαιότερος τῶν κωδίκων τῆς Τυβίγγης, ὡς ἐκ τῆς γραφῆς γίνεται δῆλον.

Ἐν τῷ κειμένῳ τῶν κωδίκων ἐλάχιστα σφάλματα ὑπάρχουσιν, ἅτινα διωρθώσαμεν, χωρὶς νὰ ἀναφέρωμεν αὐτά, καθ' ὅσον ταῦτα καὶ ἐλάχιστα εἶναι καὶ ἀνάξια λόγου.

---

[1] Πρβλ. τὴν ἐμὴν πραγματείαν Αἱ ἱεραὶ Μοναὶ τῆς Πίνδου, ἐν Ἀθήναις 1929 σ. 19.

[2] Περιγραφὴν τοῦ κώδικος ἐδημοσίευσεν ἐν τῇ Ἐκκλησίᾳ (ἀρ. 3 τῆς 18 Ἰανουαρίου 1930) ὁ ἐκ τῶν καθηγητῶν τῆς Σχολῆς ταύτης κ. Κ. Δυοβουνιώτης.

[3] Ἐν τῷ χωρίῳ Μυριχόβῳ τιμᾶται ἔτι ὑπὸ τῶν χωρικῶν ἡ μνήμη τοῦ ἁγίου Δαμιανοῦ τοῦ νέου. Ἀναζητήσαντες τὴν εἰκόνα τοῦ ἁγίου ἐν τῷ ἐνοριακῷ ναῷ τοῦ χωρίου δὲν εὕρομεν αὐτήν. Εὐτυχῶς τὴν εὕρομεν ἐν τῷ τέμπλῳ τοῦ ἀρχαίου παρεκκλησίου τῶν Ταξιαρχῶν. Ταύτην παραθέτομεν ἐκ φωτογραφίας γενομένης κατ' ἐντολὴν ἡμῶν.

[4] Μὴ διαμένων ἐν Ἀθήναις, δὲν ἠδυνήθην νὰ ἐξετάσω τίς οὗτος ὁ Ματθαῖος, ὅστις ἀναμφιβόλως θὰ εἶναι γνωστὸς καὶ ἐξ ἄλλων ὁμοίων συνθέσεων. Ὁμοίως δὲν ἐξηκρίβωσα τίς ὁ Διονύσιος Ἱερομ. Παπαδόπουλος ὁ συνθέτης τῆς ἐκδιδομένης ἑτέρας ἀκολουθίας τοῦ ὁσίου. Ὁ ἕτερος ἀναφερόμενος ἀρχιμ. τῆς Μητροπόλεως Λαρίσσης Ἰάκωβος εἶναι γνωστὸς ἐκ χειρογράφων, ἅτινα κατέλιπε περὶ τοῦ Ναοῦ τοῦ Ἁγ. Ἀχιλλείου Λαρίσσης καὶ περὶ ἄλλων τινῶν. (Πβ. Προμηθέα Βόλου 1891 ἀρ. ΑΒ').

ΕΡΓΑΣΤΗΡΙΟ ΕΚΠΑΙΔΕΥΤΙΚΗΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006

**Μὴν Φεβρουάριος εἰς τὰς ιδ´ μνήμη τοῦ ἁγίου ὁσιομάρτυρος Δαμιανοῦ. Ἑσπέρας εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ προσόμοια. Ἦχος α´ τῶν οὐρανίων ταγμάτων.**

*Τῶν Λαρισσαίων τὰ πλήθη σκίρτα καὶ χόρευε· Δαμιανὸς γὰρ ὄντως νῦν ὑμῖν φύλαξ ὤφθη γενναίως μαρτυρήσας, ὃς τοῦ ἐχθροῦ τὰς μηχανὰς ἐτροπώσατο καὶ τοὺς ἀθέους κατέβαλεν ἀνδρικῶς ἀπελέγξας τούτους ἄφρονας.*

*Τῶν μοναζόντων ἡ δόξα καὶ τῶν μαρτύρων σφραγίς, Δαμιανὲ γενναῖε, τὰς ἐπάρσεις καθεῖλες τῶν μὴ ὁμολογούντων ἕνα Θεὸν τρισὶ προσώποις ὑμνούμενον, διὸ στεφάνους ἐδέξω παρὰ Χριστοῦ ὑπὲρ οὗ στερρῶς ἐνήθλησας.*

*Ἀγάλλου, χόρευε, σκίρτα σύλλογος πᾶς τῶν πιστῶν· ἰδοὺ γὰρ ὁ γενναῖος ῥαβδισμοὺς ὑπομείνας καὶ ὕβρεις καὶ βασάνους ἐν μέσῳ ἐχθρῶν τὸν Χριστὸν οὐκ ἠρνήσατο, ἀλλ' ἀνδρικῶς πάντα φέρων Δαμιανὸς μέχρι τέλους ἐστεφάνωται.*

Δόξα. Ἦχος δ´.

*Τὸν φαεινὸν φωστῆρα καὶ μάρτυρα γενναῖον, πιστοί, Δαμιανὸν εὐφημήσωμεν· οὗτος γὰρ τῶν ἀθέων Ἀγαρηνῶν τὰς βλασφήμους πεύσεις εἰς ἀέρα διέλυσε καὶ τῇ ὀρθοδόξῳ πίστει πάντας τοὺς πιστοὺς ἐμμένειν ἐδίδαξε πεπλανημένους ἐπιστρέψας πρὸς φῶς θεογνωσίας λόγοις αὐτοὺς καὶ θεοσημείοις πιστωσάμενος, διὸ καὶ τὸν ἀμαράντινον παρὰ τοῦ ἀθλοθέτου Χριστοῦ ἐδέξατο στέφανον πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.*

Εἰς τὰ στιχηρὰ προσόμοια. Ἦχος α´. Πανεύφημοι μάρτυρες.

*Νηστείᾳ τὸ σῶμά σου σοφὲ ὅλον ἀπεκάθηρας καὶ ἀγρυπνίᾳ σὺν δάκρυσι· διὸ καὶ γέγονας οἶκος τῆς Τριάδος, ἣν καὶ ὡμολόγησας ἐνώπιον τυράννων, μακάριε, τὰς ἀπειλὰς αὐτῶν εἰς οὐδὲν λογισάμενος, ταύτην ἔχων, Πάτερ, δυναμοῦσάν σε.*

*Γενναίως ἀντέστης τῷ ἐχθρῷ, μάρτυς πολυύμνητε Δαμιανέ, καὶ κατήσχυνας τοῦτον καὶ ἔλυσας τὰς ἐνέδρας πάσας καὶ τὰς μηχανὰς αὐτοῦ καὶ πάντας τοὺς πιστοὺς καθωδήγησας πρὸς τὴν εὐσέβειαν, δι' ἣν, μάκαρ, τέλος εἴληφας μαρτυρίου, ὅθεν ἀνυμνοῦμέν σε.*

*Ραβδισμοὺς ὑπέμεινας στερρῶς καὶ στρεβλώσεις, πάνσοφε, διὰ τὸν πάντων δεσπόζοντα καὶ τέλος ἔλαβες μαρτυρίου δρόμον· ὅθεν ἐκδυσώπησον, Θεόν, Δαμιανέ, μάρτυς ἔνδοξε, ὑπὲρ τῶν πίστει σου ἐκτελούντων τὸ μνημόσυνον λυτρωθῆναι πειρασμῶν καὶ θλίψεων.*

Δόξα. Ἦχος πλ. β´.

*Ἡ Λάρισσα εὐφράνθητι σήμερον ἐπὶ τῇ ἐνδόξῳ ἀθλήσει τοῦ νέου ὁσιομάρτυρος Δαμιανοῦ ὕμνοις ᾀσματικοῖς τοῦτον γεραίρουσα· ἐκ σοῦ γὰρ ἀληθῶς ἐν τοῖς ἐσχάτοις καιροῖς, ὡς ἀστὴρ φαεινὸς ἐξανέτειλε τὸ σκότος λύων τῆς ἀγνωσίας καὶ τοὺς πιστοὺς φωτίζων ψυχικῶν καὶ σωματικῶν παθημάτων αὐτοὺς ῥυόμε-*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργ. Λ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

*νος· διὸ μεγαλοφώνως τούτῳ βόησον· ὦ στρατιῶτα τοῦ Χριστοῦ καὶ μάρτυς ἀήττητε, ὡς παριστάμενος τῷ θρόνῳ τῆς τρισυποστάτου θεότητος ἐκτενῶς αὐτὴν ἱκέτευε ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὴν ἱερὰν καὶ πανένδοξον μνήμην σου.*

Εἰς τὸν ὄρθρον κανὼν οὗ ἡ ἀκροστιχὶς Ἄσμασι τιμῶν Δαμιανὸν ἀξίως, ἐν δὲ τοῖς Θεοτοκίοις Ματαῖος. Ὠδὴ α΄ ἦχος δ΄ Ἀνοίξω τὸ στόμα μου.

*Ἀγάλλου καὶ χόρευε, Λάρισσα πόλις, καὶ σκίρτησον· ἐν σοὶ γὰρ ἐνήθλησε Δαμιανὸς ὁ στερρὸς καὶ κατέβαλε τὰ θράση τῶν βαρβάρων σθένει δυναμούμενος τοῦ παντοκράτορος.*

*Σήμερον εὐφραίνονται χοροὶ ὁσίων καὶ ἄνθρωποι τὸν κτίστην δοξάζοντες Δαμιανῷ τῷ στερρῶς ἐναθλήσαντι δύναμιν παρασχόντα ἐξ ὕψους ἀήττητον ὑπὲρ τῆς πίστεως.*

*Μεγίστων ἐπέτυχες στεφάνων, πάτερ πανόλβιε, ὁσίων τὸ καύχημα καὶ τῶν μαρτύρων σφραγίς· ὅθεν μέμνησο ἡμῶν τῶν ἐκτελούντων τὴν μνήμην σου σήμερον παρὰ Χριστοῦ τοῦ Θεοῦ.* Θ΄.

*Μαρία πανάχραντε, τοῦ κόσμου σκέπη καὶ καύχημα, τοὺς δούλους σου φύλαττε, τὸν σὸν υἱὸν καὶ Θεὸν τοὺς δοξάζοντας καὶ σὲ ὁμολογοῦντας παρθένον ἀμόλυντον καὶ ἀπειρόγαμον.*

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

*Ἀγγέλων χοροὶ καὶ Ἀποστόλων, μαρτύρων καὶ πάντων προφητῶν καὶ ἀσκητῶν τὰ τάγματα ἐν σοὶ νῦν ἐπαγάλλονται ὑπὲρ Χριστοῦ ἀθλήσαντι, Δαμιανὲ μάρτυς ἔνδοξε.*

*Σιγάτωσαν γλῶσσαι τῶν ἀπίστων καὶ πάντων ὁμοῦ τῶν οὐκ ὀρθῶς φρονούντων τὰ ἡμέτερα Δαμιανὸν τωθάζουσαι· Θεὸν γὰρ ὡμολόγησε τρισὶ προσώποις ὑμνούμενον.*

*Ἱκέτευε, μάκαρ, τὸν Σωτῆρα ρυσθῆναι πταισμάτων χαλεπῶν τοὺς πόθῳ σε γεραίροντας καὶ πίστει, ἑορτάζοντας τὴν ἱεράν σου ἄθλησιν, Δαμιανὲ γενναιότατε.*

*Ἁγία Παρθένε Θεοτόκε, ἡ μόνη Χριστὸν ὑπερφυῶς ἐν μήτρᾳ σου βαστάσασα, τοῦτον ἀεὶ ἱκέτευε ρυσθῆναι πάσης θλίψεως τοὺς εὐσεβῶς ἀνυμνοῦντάς σε.*

Καθ. ἦχος α΄ Τὸν τάφον σου Σωτήρ.

*Συμφώνως οἱ πιστοὶ εὐφημήσωμεν ὕμνοις Χριστοῦ τὸν ἀθλητήν· ἀνδρικῶς γὰρ καθεῖλε τὸ κράτος τοῦ ἀλάστορος καὶ τὴν πίστιν ἐκήρυξε μέσον σήμερον, τῶν ἀνομούντων καὶ τούτοις μὴ φρονεῖν ὀρθῶς ἀλλ' ἀσεβῶς ἐπεφώνει Χριστῷ μὴ ὑπείκουσιν.*

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΛΟΓΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε. Σδάτης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἕτερον. Ἐπεφάνης σήμερον.

*Ὡς ἀστὴρ λαμπρότατος ἐκ τῆς Λαρίσσης ἀνεφάνης ἔνδοξε μάρτυς τοῦ Χριστοῦ Δαμιανέ, διὸ τοὺς δούλους σου φύλαττε, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου πάντοτε. Θ΄.*

*Παναγία Δέσποινα ἡ προστασία καὶ πιστῶν βοήθημα σῶζε ποικίλων πειρασμῶν τοὺς σὲ κυρίως δοξάζοντας, Θεοῦ μητέρα καὶ πόθῳ γεραίροντας.*

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

*Τὸν γενναῖον στρατιώτην τοῦ Χριστοῦ καὶ λαμπρότατον τῶν ὁσίων στίφη καὶ τὰ τῶν ἀνθρώπων ὑμνήσατε τὸν καθελόντα τὸ κράτος τοῦ ἀλάστορος, τοῦ δεινοῦ καὶ δολίου ἡμῶν πολεμήτορος.*

*Ἱερῶς ψυχὴν καὶ σῶμα κατεκόσμησας ἔνδοξε ἐγκρατείας πόνοις· ὅθεν σοι σαφῶς ἐπεφοίτησε τοῦ παρακλήτου ἡ χάρις καὶ ἀνέδειξέ σε, παμμάκαρ, στερρὸν καὶ ἀήττητον μάρτυρα.*

*Μακαρίως σου τὸν βίον διετέλεσας, ὅσιε, μακαρίων ὄντως παρὰ τοῦ Σωτῆρος ἐπέτυχες καὶ ἀκηράτων στεφάνων· ὅθεν μέμνησο τῶν πιστῶν σου τελούντων τὴν μνήμην πανένδοξε. Θ΄.*

*Τὴν μητέρα τοῦ ὑψίστου δεῦτε πάντες ὑμνήσωμεν, τὴν ἐκ τῆς κατάρας τοῦ Ἀδὰμ ἡμᾶς ἀπαλλάξασαν καὶ βασιλείας τῆς ἄνω ἀναδείξασαν κληρονόμους καὶ φίλους Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.*

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

*Ὢ νῦν τοῖς τελοῦσί σου γενοῦ τὴν μνήμην, ὅσιε, φύλαξ καὶ μεσίτης πρὸς τὸν κτίστην ῥυσθῆναι πάντας ἐπηρειῶν τοῦ ἐχθροῦ καὶ τὰς τῶν βαρβάρων μηχανὰς τελείως ἀφάνισον τοῦ Χριστοῦ μάρτυς ἔνδοξε.*

*Δαιμόνων ἀπέλασον τὰς παρατάξεις ὅσιε τὰς κατὰ τῶν πιστῶν ἐγειρομένας τῇ μεσιτείᾳ τῇ πρὸς Θεόν σου ἀεί, πρὸς αὐτὸν γὰρ κέκτησαι σαφῶς παρρησίαν ἔνδοξε· δι' αὐτὸν γὰρ ἐνήθλησας.*

*Ἀγάλλεται σήμερον ἀνθρώπων φύσις ἅπασα πλοῦτον κεκτημένη σε τοιοῦτον ἄσυλον ὄντως καὶ πρὸς τὸν πάντων Θεὸν πρέσβυν δυνατώτατον ὁμοῦ. Πάντας οὖν, μακάριε, τοὺς ὑμνοῦντάς σε φύλαττε. Θ΄.*

*Θεὸς σάρκα εἴληφεν ἐκ μήτρας σου πανάχραντε καὶ τοὺς ἁμαρτίᾳ κρατουμένους ἔσωσε πάντας καὶ πρὸς τὴν ὄντως ζωὴν αὖθις ἐπανήγαγε· διὸ πάντες σε γεραίρομεν καὶ πιστῶς μακαρίζομεν.*

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην καί:

*Μαρτύρων ὤφθης συνόμιλος, ὁσίων καὶ δικαίων ὁμόσκηνος, μάρτυς ἀήττητε, διὸ τοὺς δούλους σου φύλαττε βελῶν τοῦ διαβόλου ἀπολυτρούμενος.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Α.Π. ΙΩΑΝΝΙΝΑ 2006

*Ἰσχύϊ πάσας ἠφάνισας τὰς πεύσεις τῶν ἀπίστων, πανένδοξε, τοῦ παντοκράτορος· ὅθεν τὴν ἧτταν μὴ φέροντες οἱ ἄνομοι πυρί σε κατέκαυσαν.*

*Ἀγγέλους, πάτερ, ἑώρακας, ὡς πάλαι Ἰακὼβ ὁ θεσπέσιος, πρὸ τῆς ἀθλήσεως, οἵ σοι τὴν τρίβον ὑπέδειξαν, δι' ἧς ἀπῆλθες μάκαρ πρὸς τὰ οὐράνια. Θ'.*

*Ἁγνὴ παρθένε πανάμωμε, μητέρα τοῦ Θεοῦ σε γινώσκομεν καὶ μεγαλύνομεν ἀναβοῶντές σοι πάναγνε τὸ χαῖρε τοῦ ἀγγέλου καὶ ἀνακράζοντες.*

Κοντ. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

*Τῶν ἀσεβῶν Ἀγαρηνῶν τὰς ἐπάρσεις ὁ τοῦ Χριστοῦ ἀναδειχθεὶς ἀθλοφόρος Δαμιανὸς ἀνδρείως κατεπάλαισε πάσας καὶ κατέβαλε καὶ εἰς τέλος καθεῖλεν· ὅθεν οὖν συνάχθητε οἱ πιστοὶ μετὰ πόθου ἀναβοῶντες μάρτυς σῷζε τοὺς πόθῳ τελοῦντας τὴν μνήμην σου.*

Ὁ Οἶκος.

*Ὕμνοις ἅπαντες πιστοὶ τὸν Θεὸν μεγαλύνωμεν, τὸν καθ' ἑκάστην ἐν ἡμῖν μεγάλα καὶ παράδοξα ἐργαζόμενον θαύματα, τὸν ῥυόμενον ἡμᾶς ἀπὸ ποικίλων πειρασμῶν καὶ ἀναδείξαντα ἐν τοῖς ἐσχάτοις καιροῖς τὸν ἔνδοξον Δαμιανὸν γενναῖον, καὶ ἀήττητον μάρτυρα· οὗτος γὰρ ἀνδρικῶς τῇ δυνάμει τοῦ Χριστοῦ τὰς συμπλοκὰς τῶν ἀσεβῶν διέλυσε, τὴν ὀρθόδοξον πίστιν τρανῶς κηρύξας. Αὐτῷ οὖν πιστῶς ἐκβοήσωμεν, μεγαλομάρτυς ἀθλητὰ ὡς ἔχων παρρησίαν πρὸς τὸν Χριστὸν τόν σε δοξάσαντα σῷζε τοὺς πόθῳ τελοῦντας τὴν μνήμην σου.*

Ἐν ἔτει ͵ζοςφ' μηνὶ Φεβρουαρίῳ ιδ' ἄθλησις τοῦ ἁγίου ὁσιομάρτυρος Δαμιανοῦ τοῦ νέου. Στίχοι.

*Δαμιανὸν φλέγουσι παῖδες ἀνόμων*
*Ὀρθῶς φρονοῦντα δημιουργὸν τῶν ὅλων,*
*Πυρὶ τετάρτῃ Δαμιανὸν δεκάτῃ τε φλέξαν.*

Οὗτος ὁ ὅσιος μεγαλομάρτυς τοῦ Χριστοῦ Δαμιανὸς ὑπῆρχεν ἐν τοῖς χρόνοις τοῦ σουλτὰν Σελὴμ ἐκ τῆς δευτέρας τῶν Θετταλῶν ἐπαρχίας ὁρμώμενος, ἐκ κώμης Ῥίχοβον ὀνομαζομένης, πατέρων εὐσεβῶν μὲν ἄλλως τε δὲ λιτῶς τὸν βίον διαγόντων. Οὗτος οὖν ἔτι νέαν ἄγων τὴν ἡλικίαν τὸν μονήρη βίον ἐπόθησε καὶ τὴν θρεψαμένην καταλιπὼν ᾗ ποδῶν εἶχε τὸ περιώνυμον ὄρος, τὸν Ἄθω φημί, κατέλαβε καὶ εἰς ἓν τῶν ἐκεῖ μοναστηρίων, ὃ τοῦ Φιλοθέου ὀνομάζεται, παραγενόμενος τὴν κόμην ἐκάρη τὸ τῶν μοναχῶν ἀμφιασάμενος σχῆμα. Χρόνον δὲ μικρὸν τῇ μονῇ ταύτῃ προσκαρτερήσας τῇ μοναδικῇ πολιτείᾳ ἐπρόκοπτεν, εἶτα μείζονος ἀρετῆς ἐφιέμενος κατέλιπε τὴν μονὴν καὶ πρός τινα τῶν κατὰ μόνας ἀσκουμένων σημειοφόρων ἄνδρα, ᾧ Δομέτιος τοὔνομα, ἀφίκετο, μεθ' οὗ χρόνους τρεῖς μικροῦ δέοντας νηστείᾳ

καὶ ἀγρυπνίᾳ καὶ τῇ λοιπῇ σκληραγωγίᾳ τρυχόμενος διετέλεσε. Τοσοῦτον δὲ ἐπέδωκεν ἑαυτὸν τῇ ἀρετῇ ὥστε καὶ φωνῆς θείας ἀκοῦσαι λεγούσης αὐτῷ. Δαμιανὲ οὐ μόνον τὸ ἑαυτοῦ δεῖ σε ζητεῖν, ἀλλὰ καὶ τὸ τῶν ἑτέρων κατὰ τὸν θεῖον Ἀπόστολον. Τοιαύτης τινὸς φωνῆς ἀξιωθεὶς κατέλαβε τὴν Θετταλίαν τὴν ἔρημον καταλιπὼν καὶ εἰς τὰ τοῦ Ὀλύμπου Τέμπη παραγενόμενος τὰς ἐκεῖ κώμας ἐκήρυττε λαμπρᾷ τῇ φωνῇ τὸ μετανοεῖτε, πολλοὺς δὲ πρὸς θείας ὁδοὺς πορεύεσθαι καὶ τῶν ἀδικιῶν ἀπέχεσθαι παρεσκεύασεν. Ἀλλ᾽ ὁ ἀρχέκακος καὶ μισόκαλος διάβολος μὴ δυνάμενος ὁρᾶν τὸ ἀγαθὸν ἐπὶ τὸ κρεῖττον προβαίνειν τινὰς τῶν Ἀγαρηνῶν καὶ τῶν πιστῶν οὐκ ὀλίγους διήγειρε κατ᾽ αὐτοῦ πλάνον καὶ ἀπατεῶνα τοῦτον ἀποκαλοῦντας καὶ εἰ δυνατὸν ἦν θανατῶσαι ζητοῦντας. Οὗτος δὲ ὡς χριστομίμητος καταλιπὼν τὰς ἐκεῖ κώμας ἀνεχώρησε καὶ εἰς τὰ μέρη τοῦ Κισσάβου καὶ τῆς Λαρίσσης παρεγένετο. Μετὰ μικρὸν δὲ κἀκεῖθεν ἀπάρας, τὰς διαβολὰς τῶν τῆς ἀληθείας ἐχθρῶν φεύγων καὶ τὴν εἰρήνην ζητῶν τὰ τῶν Ἀγράφων ὄρη κατέλαβε καὶ πάσας τὰς ἐκεῖ κώμας διδάξας τοὺς ἐν αὐταῖς οἰκοῦντας χριστιανοὺς τῇ ὀρθῇ τῶν χριστιανῶν πίστει ἐμμένειν ἐστερέωσεν. Ἀλλ᾽ ἐπεὶ κἀκεῖ πλάνος καὶ ψευδομόναχος ὠνομάσθη παρά τινων, καταλιπὼν καὶ ταύτας τὰς κώμας διὰ τὸ ἀτάραχον εἰς τὸν Κίσσαβον αὖθις ἐπανῆλθεν, ἐν ᾧ μοναστήριον οἰκοδομήσας μικρὸν καὶ ὀλίγους τῶν μοναχῶν συναθροίσας τῷ Θεῷ μετ᾽ αὐτῶν τὰς συνήθεις εὐχὰς ἀνέπεμπεν καθ᾽ ἑκάστην. Πολλοὶ δὲ κἀκεῖσε πρὸς τὴν τούτου συνέτρεχον ζήτησιν· νουνεχὴς γὰρ ὢν ἐτύγχανεν ὁ ἀνὴρ καὶ χαρισμάτων θείων κεκοσμημένος. Διά τινα δὲ χρείαν, μᾶλλον δὲ τῆς τῶν χριστιανῶν ὠφελείας ἕνεκα, τῆς μονῆς ἐξελθὼν καὶ εἴς τινα κώμην παραγενόμενος, ἥτις Βουλγαρινὴ ὀνομάζεται, ἐκρατήθη παρά τινων Ἀγαρηνῶν, οἳ τῷ τῆς Λαρίσσης ἄρχοντι ἀπαγαγόντες αὐτὸν παρέδωκαν, ὃς ἐρωτήσας αὐτὸν τίς καὶ πόθεν ἐστὶ καὶ τίνος χάριν τὰς κώμας διέρχεται τοὺς χριστιανοὺς μὴ πρίασθαί τι ἢ πωλεῖν τῇ Κυριακῇ διδάσκων, μικρὸν ἐσίγησε τὴν ἀπόκρισιν ἐκδεχόμενος. Καὶ ὁ ἅγιος πρὸς ὠφέλειαν, μᾶλλον δὲ πρὸς σωτηρίαν τῶν χριστιανῶν ταῦτα ποιεῖν ἀπεκρίνατο. Ταῦτα ἀκούσας ὁ ἄρχων τῇ εἱρκτῇ τοῦτον ῥιφθῆναι προσέταξε τύψας πρῶτον σφοδρῶς καὶ ἁλύσεις βαρείας τῷ τραχήλῳ καὶ τοῖς ποσὶ τούτου περιθείς· ὃς ἡμέρας δεκαπέντε καὶ μικρόν τι πρὸς ἐν τῇ φυλακῇ ἐκαρτέρησεν ἄρτου βραχὺ καὶ ὕδατος μετὰ δευτέραν ἢ τρίτην ἡμέραν παρά τινος τῶν ἀπίστων δεχόμενος καὶ πληγὰς καθ᾽ ἑκάστην πλείους τῶν ἑκατὸν καθ᾽ ὅλου τοῦ σώματος προστάξει τοῦ ἄρχοντος λαμβάνων καὶ ἀναγκαζόμενος ἀρνήσασθαι τὸν Χριστὸν οὐκ ἐπείσθη, ἀλλὰ τῇ ὀρθῇ τῶν χριστιανῶν πίστει μεγαλοφώνως ἐμμένειν ἐκραύγαζε γενναίως πάντα ὑποφέρων. Ὁ ἄρχων δὲ καὶ αὖθις ἔμπροσθεν αὐτοῦ παραστῆναι τοῦτον ἐκέλευσεν, ὃς ἐρωτήσας αὐτὸν παραστάντα, ὡς καὶ πρότερον καὶ ὀρθῶς φρονοῦντα τοῦτον ἰδὼν κολακεύειν ἐπεχείρησε τιμάς τε καὶ δωρεὰς παντοίας δοῦναι αὐτῷ ὑποσχόμενος, εἰ τὸν Χριστὸν ἀρνήσασθαι βουληθῇ καὶ τῇ τούτου θρησκείᾳ, τῇ τῶν Ἀγαρηνῶν φημί, προσελθεῖν. Ὁ δὲ

τοῦ Χριστοῦ μάρτυς γενναίως ἀνταπεκρίθη· μή μοι γένοιτο, ἔφη, τὸν Χριστόν μου καὶ Θεὸν ἀρνήσασθαι, ἀλλὰ καὶ πῦρ καὶ ἀγχόνην καὶ πᾶσαν ἄλλην βάσανον ὑπὲρ αὐτοῦ δέξασθαι προαιροῦμαι. Ἐπεὶ δὲ τοῦτον ἀμετάτρεπτον εἶδεν ὁ ἄρχων καὶ τῇ πίστει ἐμμένοντα, τῇ ἀγχόνῃ πρῶτον, ὕστερον δὲ τῷ πυρὶ παραδοῦναι ἐκέλευσε. Καὶ δὴ λαβόντες αὐτὸν οἱ δήμιοι καὶ εἰς ὃν τόπον τοὺς καταδίκους εἰώθασι φονεύειν ἀπαγαγόντες ἐκρέμασαν. Εἷς δὲ τῶν παρεστώτων δημίων πελέκει τὸν ἅγιον κατὰ τὸ μετάφρενον κρούσας καὶ τὸ καλώδιον μεθ' οὗ ἀπῃώρητο κόψας εἰς γῆν κατήγαγεν ἔτι ἐμπνέοντα. Οἱ δὲ λοιποὶ τῶν ἀσεβῶν ὡς εἶδον αὐτὸν ἔτι ζῶντα πυρκαϊὰν μεγάλην ἀνάψαντες κατὰ τὸν τοῦ ἄρχοντος λόγον μετὰ σπουδῆς μέσον ἔθηκαν καὶ τελείως κατέκαυσαν. Εἶτα τὴν αἰθάλην συνάξαντες τῷ παραρρέοντι ποταμῷ, ᾧ Πηνειὸς τοὔνομα, ἀπέρριψαν. Καὶ οὕτω τὸν τοῦ μαρτυρίου στέφανον, ὃν ἐπόθησεν εἴληφε παρὰ τοῦ ἀθλοθέτου Χριστοῦ, ὑπὲρ οὗ στερρῶς ἐνήθλησεν, οὗ ταῖς πρεσβείαις Χριστὲ ὁ Θεὸς καὶ ἡμᾶς ἐλευθέρωσον τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν καὶ σῶσον τὰς ψυχὰς ἡμῶν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὠδὴ ζ´. Οὐκ ἐλάτρευσαν τὴν..

*Νουθετῶν καὶ ἐκδιδάσκων πάντας, ὅσιε, πρὸς τὴν εὐσέβειαν ἀνεπτερώθης τὸν νοῦν· διὸ καὶ ἐνήθλησας ὑπὲρ τῆς πίστεως καὶ ἐκραύγαζες εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.*

*Ὁ λαμπρότατός σου βίος καὶ περίδοξος μαρτύρων καύχημα ὡς ἀστραπὴ πᾶσαν γῆν διέδραμεν, ἔνδοξε, καὶ πάντας ἤγειρε τοῦ δοξάζειν σε, Δαμιανὲ ἀήττητε, καὶ Θεὸν τὸν πάντων κτίστην.*

*Νέος ὄντως ἀνεφάνης καὶ στερρότατος πρόμαχος πίστεως τὰς μηχανὰς τῶν ἐχθρῶν δυνάμει τοῦ κτίστου σου συντρίψας, ἔνδοξε, ᾧ καὶ ἔψαλλες εὐλογητὸς εἶ κύριε. Θ.*

*Ἱκετεύομεν οἱ δοῦλοί σου, πανάχραντε, καὶ ἀνακράζομεν τῷ σῷ υἱῷ καὶ Θεῷ ρυσθῆναι τοὺς πίστει σε ὑμνοῦντας πάντοτε καὶ δοξάζοντας καὶ μετὰ τόκον ἄφθορόν σε παρθένον φυλαχθεῖσαν*[1].

[1] Σὲ παρθένε φυλαχθεῖσα τὸ χ. Τὸ κείμενον τῆς Τυβίγγης «καὶ δοξάζοντας τῆς τοῦ ἐχθροῦ κακώσεως καὶ παντοίας ἄλλης βλάβης».

Ὠδὴ η´. Παῖδας εὐαγεῖς.

*Ἁπάντων προέκρινας, τρισμάκαρ, γηΐνων τὴν θείαν ὄντως ἔφεσιν ὑπὲρ ἧς ἐνήθλησας καὶ κατεπολέμησας δράκοντα τὸν δόλιον, τὸν ἐνοχλοῦντα πιστοὺς Χριστὸν ἐνδυναμοῦντά σε ἔχων, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.*

*Ξεόμενον, πάτερ, σου τὸ σῶμα, τυπτόμενον καὶ τῇ πείνῃ πιεζόμενον λίθοις τε βαλλόμενον καὶ πυρὶ διδόμενον, ὅλως οὐκ ἐδειλίασεν, ἀλλ' ὥσπερ ἄσαρκος γενναίως ἐκαρτέρησας πάντα ὑπὲρ τῆς Τριάδος, ἥν, μάκαρ, ὡμολόγεις.*

*Ἰδὼν σου Θεὸς τῆς διανοίας παμμάκαρ τὸ καθαρόν τε καὶ ἀθόλωτον χάριν ἐδωρήσατο τῇ καθαρωτάτῃ σου γνῶναι τὴν σὴν ἄθλησιν ψυχῇ πανένδοξε, μαρτύρων καλλονὴ καὶ ὁσίων καύχημα καὶ δόξα Δαμιανὲ γενναῖε. Θ.*

*Ὁ πᾶσαν τὴν κτίσιν περιέχων δρακὶ ἐν τῇ μήτρᾳ σου κατῴκησε, κόρη, καὶ ἀνέλαβε θέλων τὸν πλανώμενον σάρκα ὁ φιλάνθρωπος σῶσαι τὸν ἄνθρωπον, ὃν πάντες εὐλογοῦμεν, παρθένε, καὶ σὲ ἀνυμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.*

Ὠδὴ θ΄. Ἅπας γηγενής.

*Ὤφθης ἀληθῶς Τριάδος, μακάριε, στερρὸς ὑπέρμαχος· τὰς τῶν ἐναντίων γὰρ βουλὰς καὶ πεύσεις πάσας ἠφάνισας καὶ τὸ τῆς πλάνης ἄθεον αὐτῶν διέλυσας ὡς ἀράχνης ἱστόν, παναοίδιμε, τῶν μαρτύρων ἡ δόξα καὶ καύχημα.*

*Σήμερον φαιδρῶς ἡ Λάρισσα, ἔνδοξε μάρτυς, εὐφραίνεται ἐπὶ τῇ ἀθλήσει σου θερμὸν προστάτην πρὸς τὸν φιλάνθρωπον σὲ κεκτημένη πάντοτε καὶ ἀντιλήπτορα καὶ μεσίτην, διὸ ἐλευθέρωσον πειρασμῶν ταύτην, πάτερ, καὶ θλίψεων. Θ.*

*Σῶσον ὁ Σωτὴρ τοὺς δούλους σου ἅπαντας τοὺς σὲ δοξάζοντας ταῖς τῆς κυησάσης σε μητρὸς πρεσβείαις καὶ τοῦ σοῦ μάρτυρος Δαμιανοῦ καὶ λύτρωσιν τῶν περιστάσεων καὶ παντοίων πειρασμῶν καὶ θλίψεων σοῖς ἱκέταις ἀεὶ πᾶσι δώρησαι.*

Ἐξαποστειλάριον. Ἐν πνεύματι τῷ ἱερῷ.

*Μαρτύρων τὸν λαμπρότατον οἱ πιστοὶ συνελθόντες Δαμιανὸν ὑμνήσωμεν πάντες ὕμνοις συμφώνως· ὑπὲρ Χριστοῦ γὰρ ἤθλησε καὶ σὺν ἀγγέλοις χορεύει μάρτυσι καὶ προφήταις τὸν Σωτῆρα δυσωπῶν σῶσαι τοὺς πόθῳ τελοῦντας τὴν ἱερὰν αὐτοῦ μνήμην. Θ.*

*Παρθένε παναμώμητε, ἡ τεκοῦσα τὸν πάντων δημιουργὸν καὶ Κύριον τοῦτον αἴτησαι πάντας ῥυσθῆναι πάσης θλίψεως τοὺς ὑμνοῦντάς σε σῷζε πόθῳ καὶ μεγαλύνοντας κόρη καὶ ἀληθῶς πανάχραντε παρθένον ὁμολογοῦντας καὶ μετὰ τόκον φανεῖσαν.*

Εἰς τοὺς αἴνους. Ἦχος δ΄. ὡς γενναῖον ἐν μάρτυσι.

*Τῶν ἀγγέλων συνόμιλος, τῶν ὁσίων ὁμόσκηνος, τῶν μαρτύρων γέγονας ἰσοστάσιος, Δαμιανὲ γενναιότατε, πιστῶν περιτείχισμα, ἐκκλησίας καλλονὴ καὶ τῆς πίστεως πρόμαχε· ὅθεν ἅπαντες εὐφημοῦμέν σε πόθῳ συνελθόντες καὶ Χριστὸν δοξολογοῦμεν, τὸν σὲ λαμπρῶς καταστέψαντα.*

*Δεῦτε πάντες ὑμνήσωμεν καὶ πιστῶς μελῳδήσωμεν τῶν μαρτύρων ᾄσμασι τὸν λαμπρότατον Δαμιανὸν τὸν νικήσαντα στερρῶς τὸν ἀντίπαλον καὶ τὰς τούτου μηχανὰς καὶ πιστοὺς ἐκδιδάξαντα πίστιν ἔνθεον καὶ τηρεῖν καὶ φυλάττειν δυσωποῦντες ταῖς πρεσβείαις σου, τρισμάκαρ σῷζε τοὺς πόθῳ τιμῶντάς σε.*

*Ἐξ Ἑλλάδος ἀνέτειλας ὥσπερ ἥλιος ἄδυτος καὶ πιστοὺς ἐφώτισας, μάρτυς ἔνδοξε, καὶ πρὸς τὴν Λάρισσαν ἔφθασας, ἐν ᾗ καὶ ἐνήθλησας ὑπὲρ πίστεως, σοφέ, τὸν Χριστὸν ἔχων πρόμαχον· διὸ ἅπαντες οἱ πιστοὶ ἐκτελοῦμεν καὶ τιμῶμεν τὴν σὴν ἄθλησιν προθύμως, Δαμιανὲ γενναιότατε.*

Δόξα. Ἦχος πλ. δ΄.

*Τὸν κατὰ τῶν τυράννων ἀνδρικῶς παραταξάμενον, Δαμιανὸν τὸν ἀήττητον μάρτυρα, μελῳδικῶς οἱ πιστοὶ εὐφημήσωμεν· ἀντέστη γὰρ τῷ Βελίαρ γενναίως καὶ τὰς τούτου μηχανὰς τελείως διέλυσε, τὸν Χριστὸν ἐν μέσῳ ἀπίστων κηρύξας, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον ἐν δυσὶ ταῖς φύσεσι γνωριζόμενον· διὸ μετ' ἀγγέλων καὶ μαρτύρων ἐν οὐρανοῖς ἀεὶ ἐπαγάλλεται τὴν θείαν λαμπρότητα καθορῶν, ἣν καὶ πρεσβεύει ἀδιαλείπτως ὑπὲρ τῶν πιστῶς ἐκτελούντων τὴν μνήμην αὐτοῦ.*

† Ὁ Θεσσαλιώτιδος καὶ Φαναριοφερσάλων

ΙΕΖΕΚΙΗΛ

Ἐν Καρδίτσῃ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006